σκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔ-
ξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν
καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας
αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως
αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι
βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ
σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. Καὶ 29
ἡ Κακία ὑπολαβοῦσα εἶπεν, (ὥς φησι Πρόδικος) Ἐν-
νοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν
ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ
δὲ ῥᾳδίαν καὶ βραχεῖαν [ὁδὸν] ἐπὶ τὴν εὐδαιμονίαν
ἄξω σε. Καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον! τί δὲ 30
σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα
πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυ-
μίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμ-
πίπλασαι· πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν,
πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχα-
νωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς πα-
ρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς·
ἵνα

τῶν ἐπισταμένων] MS. 2 habet τοῦ ἐπισταμένου, et sequentia καὶ — ἀσκητέον omittit. male. nam et sententia est necessaria, et in praecedentibus αὐτὰς huc respicit: *oportet et artes ipsas discere et modum vtendi. Ern.*

εἰ δὲ καὶ] Non recte Hindeburgius corrigit εἴτε καὶ. Nam δὲ solet eleganter, *praeterea*, post plura membra addi vltimo.

σὺν πόνοις] Wolfii in notis ad Isocrat. Paraenes. pag. 80, 13 coniecturam ἐν πόνοις, vt inutilem, recte damnat Hindeburgius. Sic ἐθίζειν σὺν ἔθει occurrit Cyrop. I, 6, 33.

ἱδρῶτι] MS. 2 ἱδρῶσι. Vulgatum verum. Etiam alibi [v. c. Cyrop. VIII, 8, 8] iunguntur πόνοι καὶ ἱδρώς. Mox idem omittit ὡς ante χαλ., et ὁδὸν post βραχεῖαν. Hoc placet. *Ern.*

§. 30. ἔχεις; — ἐθέλουσα] Clemens Alex. Stromat. lib. 2, p. 406 minus accurate laudat οἶσθα, ἢ τί καλὸν σκοπεῖς; et idem mox omittit ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμπίπλασαι.

ἀναμένεις] Iuntinae ἀναμένουσα suspicor ortum esse ex sono sequentis ἀλλά.

καὶ ἵνα μὲν ἡδ.] Sic recte Ald., Paris., Steph. Clemens et Bessario. Sed Iuntina omittit καὶ, et in marg. Steph, ἵνα δὲ καὶ ἡδέως, vt in Florent. A.

φάγῃς] Iunt. φάγοις, corrupte.

τοῦ θέρους χιόνα] *Ad diluendum*, vt vtar Hindeburgii verbis, scilicet *refrigerandumque vinum, aestatis tempore:* de qua re pluribus vide ap. Athen. III, p. 124, ibique Casaub. p. 236. Veteres enim *niuem et glaciem in subterraneis scrobibus ad hunc vsum recondebant*, vt notauit Neander ad h. l. qui laudat Plinii XIX, c. 4 de luxu Romanorum